# ETA SIGMA PHI 75th Annual Greek Translation Contest (2024)
## Koine Greek

To be written as an examination, under supervision, within a maximum of two hours. No lexicon or other help is permitted. Please write in ink on every other line of the paper provided. The only identification on the contest papers should be your pen name.

---

Hannibal and the Roman delegation at Saguntum.

1. οἱ δὲ Ζακανθαῖοι συνεχῶς ἔπεμπον εἰς τὴν Ῥώμην, ἅμα μὲν ἀγωνιῶντες περὶ σφῶν καὶ προορώμενοι τὸ μέλλον, ἅμα δὲ βουλόμενοι μὴ λανθάνειν Ῥωμαίους τὴν γινομένην εὔροιαν Καρχηδονίοις τῶν κατ᾽ Ἰβηρίαν πραγμάτων. Ῥωμαῖοι δὲ πλεονάκις αὐτῶν παρακηκοότες τότε πρεσβευτὰς ἐξαπέστειλαν τοὺς ἐπισκεψομένους ὑπὲρ τῶν προσπιπτόντων.

2. Ἀννίβας δὲ κατὰ τοὺς αὐτοὺς καιροὺς πεποιημένος ὑφ᾽ αὑτὸν οὓς προέθετο παρῆν αὖθις μετὰ τῶν δυνάμεων παραχειμάσων εἰς Καινὴν πόλιν. καταλαβὼν δὲ τὴν παρὰ τῶν Ῥωμαίων πρεσβείαν καὶ δοὺς αὑτὸν εἰς ἔντευξιν διήκουε περὶ τῶν ἐνεστώτων.

3. Ῥωμαῖοι μὲν οὖν διεμαρτύροντο Ζακανθαίων ἀπέχεσθαι — κεῖσθαι γὰρ αὐτοὺς ἐν τῇ σφετέρᾳ πίστει — καὶ τὸν Ἴβηρα ποταμὸν μὴ διαβαίνειν. ὁ δ᾽ Ἀννίβας, ἅτε νέος μὲν ὤν, πλήρης δὲ πολεμικῆς ὁρμῆς, ἐπιτυχὴς δ᾽ ἐν ταῖς ἐπιβολαῖς, πάλαι δὲ παρωρμημένος πρὸς τὴν κατὰ Ῥωμαίων ἔχθραν, πρὸς μὲν ἐκείνους, ὡς κηδόμενος Ζακανθαίων, ἐνεκάλει Ῥωμαίοις διότι μικροῖς ἔμπροσθεν χρόνοις, στασιαζόντων αὐτῶν, λαβόντες τὴν ἐπιτροπὴν ἀδίκως ἐπανέλοιντό τινας τῶν προεστώτων.

1.Ζακανθαῖοι people of Saguntum
ἀγωνιάω be distressed, anxious
εὔροια prosperous course, success
πλεονάκις several times, for a while
παρακούω hear carelessly; take no heed
προσπίτνω fall upon; turn out; happen

2. Ἀννίβας Hannibal
προτίθημι (middle) propose to oneself, as a task
παραχειμάζω to spend the winter
ἔντευξις meeting, interview
τὰ ἐνεστῶτα present circumstances

3. διαμαρτύρομαι beg earnestly of one
ὁρμή impulse
ἐπιτυχής successful
ἐπιβολή design, enterprise
παρορμάω stimulate, incite
στασιαζόντων αὐτῶν. subject = Ζακανθαίων
ἐπιτροπή power to arbitrate
ἐπαναιρέω make away with, destroy
προίστημι be at the head of, govern, be in charge